### Δόξα· ἦχου πλαγίου β'.

Τὸ πανάγιον πνεῦμα
τὸ ἐκ παιδὸς ἐγκαινισθὲν ἐν τοῖς ἐγκάτοις σου
καὶ ἐνοικῆσάν σοι τερπνῶς
ὡς ἐν ναῷ μυστικῷ
καὶ πρὸς τὴν κατὰ τῶν κοσμοκρατόρων
πάλην καὶ νίκην ἐνισχῦσαν,
τοῦτό σε μέσον τῆς οἰκουμένης
ὑπὲρ αὐτοῦ πνεῦσαι παρεσκεύασεν,
τὴν σεπτὴν ἐκ τοῦ πατρὸς ὕπαρξιν
θεολογῆσαι εὐσεβῶς
καὶ ἐκδικῆσαι
τὸ τῇ χάριτι τούτου
συγγραφὲν τοῖς πατράσιν ἅγιον σύμβολον
καὶ στηρίξαι τὰς ψυχὰς
τοῦ ἐν πάσῃ τῇ κτίσει χριστωνύμου λαοῦ
πρὸς τὴν ἀληθινὴν πίστιν
καὶ πατροπαράδοτον,
τοὺς δ' ἐξ ἡμῶν ἐκπεσόντας
καὶ πρότερον καὶ νῦν
τῇ δυνάμει τῶν θεοφθόγγων λόγων σου
φρίττειν καὶ καταισχύνεσθαι.
ἀλλ'ὑπὲρ τῆς ἐκκλησίας
ἐκτενῶς πρέσβευε, δεόμεθα,
θεοφόρε Μάρκε ἀοίδιμε.

### Ἀπολυτίκιον. ἦχου πλ'. δου.

Ὀρθοδοξίας ὁδηγέ,
καινοτόμων ἀντίπαλε,
βάσις πίστεως,
τῆς ἐκκλησίας ὁ φωστήρ,
τῶν διδασκάλων τὸ ἔνθεον ἐπισφράγισμα,
Μαρκε πάνσοφε,
ταῖς συγγραφαῖς σου πάντας ἐφώτισας·
λύρα τοῦ πνεύματος,
πρέσβευε Χριστῷ τῷ Θεῷ
σωθῆναι τὰς ψυχὰς ἡμῶν.

---

6. κατὰ om. A
9. πνεῦσε A
33. συγγραφαῖς: διδαχαῖς A.
36. τὰς ψυχὰς ἡμῶν om. A.